eul_wid: hps-ak

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Colax, Fragments Known Elsewhere

*Ἀποσπάσματα Κόλακος*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 σπονδή· δίδου σὺ σπλάγχν’ ἀκολουθῶν. ποῖ βλέπεις; σπονδή. φέρ’ ὦ παῖ Σωσία. σπονδή. καλῶς ἔχει. θεοῖς Ὀλυμπίοις εὐχώμεθα Ὀλυμπίασι, πᾶσι πάσαις—λάμβανε[ln_5]τὴν γλῶτταν ἐν

book 1.2 τούτωι—διδόναι

book 1.3 σωτηρίαν, ὑγίειαν, ἀγαθὰ πολλά, τῶν ὄντων

book 1.4 τε νῦν ἀγαθῶν ὄνησιν πᾶσι. ταῦτ’ εὐχώμεθα.

book 2.1 [spk_(βιας)](ΒΙΑΣ) κοτύλας

book 2.2 χωροῦν δέκα ἐν Καππαδοκίαι κόνδυ

book 2.3 χρυσοῦν, Στρουθία, τρὶς ἐπέπιον μεστόν γε.

book 2.1 [ln_3][spk_(στρουθιας)](ΣΤΡΟΥΘΙΑΣ) Ἀλεξάνδρου

book 2.2 πλέον

book 2.3 τοῦ βασιλέως πέπωκας.

book 2 [ln_4][spk_(βι)](Βι) οὐκ ἔλαττον, οὐ[ln_5]μὰ τὴν Ἀθηνᾶν.

book 2 [ln_5][spk_(στ)](Στ) μέγα γε.

book 3 γελῶ τὸ πρὸς τὸν Κύπριον ἐννοούμενος.

book 4.1 Χρυσίδα, Κορώνην, Ἀντίκυραν, Ἰσχάδα, καὶ Ναννάριον ἔσχηκας ὡραίαν

book 4.2 σφόδρα.

book 5.1 ἀλλ’ οὐδὲ γεννήτην δύναμ’ εὑρεῖν οὐδένα ὄντων

book 5.2 τοσούτων, ἀλλ’ ἀπείλημμαι μόνος.

book 6 πρόσεισιν οἷον ἀψοφητὶ θρέμματος

book 7 κωβιός, ἠλακατῆνες, κυνὸς οὐραῖον.